**POURQUOI EN PARABOLES ?** D'après l'introduction à celle du Semeur. Texte grec fourni avec l'aimable autorisation des éditions numériques Théotex, Ἡ καινὴ Διατήκη d'après l'édition Robinson-Pierpont. Page 2 : fin : **pourquoi Jésus parle-t-il en paraboles ?**

## MARC IV

11. Καὶ ἔλεγεν αὐτοῖς, Ὑμῖν (= les douze) δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ · ἐκείνοις δὲ τοῖς ἔξω, ἐν παραβολαῖς τὰ πάντα γίνεται · 12. ἵνα

*βλέποντες βλέπωσιν, καὶ μὴ ἴδωσιν · καὶ ἀκούοντες ἀκούωσιν, καὶ μὴ συνιῶσιν · μήποτε ἐπιστρέψωσιν, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτήματα.*

A vous d'écouter !

13. Καὶ λέγει αὐτοῖς, Οὐκ οἴδατε τὴν παραβολὴν ταύτην · Καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε ;

## MATTHIEU XIII

11. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται.
12. Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται · ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ´ αὐτοῦ. (cf Lc v 18)
13. Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι

*βλέποντες οὐ βλέπουσιν, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσιν.*

14. Καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία Ἠσαΐου, ἡ λέγουσα,

*Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε · καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε.*
15. *Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν · μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσιν, καὶ τῇ καρδίᾳ συνῶσιν, καὶ ἐπιστρέψωσιν, καὶ ἰάσομαι (B ἰάσωμαι) αὐτούς.*

A vous d'écouter !

16. Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσιν, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει. (N ἀκούουσιν)
17. Ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

## LUC VIII

10. Ὁ δὲ εἶπεν, Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ · τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα

→ (Voir parallèle au verset 18).

*βλέποντες μὴ βλέπωσιν, καὶ ἀκούοντες μὴ συνιῶσιν.*

A vous d'écouter !

18. Βλέπετε οὖν πῶς ἀκούετε · ὃς γὰρ (N γὰρ ἐὰν ! ἂν γὰρ) ἐὰν ἔχῃ, δοθήσεται αὐτῷ ·
καὶ ὃς ἐὰν (N ἐὰν μὴ ! ἂν μὴ) μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ´ αὐτοῦ.
(cf parallèle dans Matth v 12).